ΕΠΙΜΕΛΕΙΑ ΤΟΥ ΣΕΒΑΣΜ. ΜΗΤΡΟΠΟΛΙΤΟΥ
ΘΗΒΩΝ ΚΑΙ ΛΕΒΑΔΕΙΑΣ
κ. ΣΥΝΕΣΙΟΥ ΤΟΥ ΤΗΝΙΟΥ

# ΑΚΟΛΟΥΘΙΑ

ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ

## ΕΥΑΓΓΕΛΙΣΤΡΙΑΣ

ΗΤΟΙ ΤΟΥ ΥΠΕΡΦΥΟΥΣ ΘΑΥΜΑΤΟΣ, ΟΠΕΡ ΑΥΤΗ ΕΝΗΡΓΗΣΕ, ΔΙΑΣΩΣΑΣΑ ΤΟΝ ΒΑΣΙΛΕΑ ΤΩΝ ΕΛΛΗΝΩΝ ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΤΗι 13Η ΜΑΪΟΥ 1915


ΥΠΟ
**ΝΙΚΟΛΑΟΥ Π. ΑΒΟΥΡΗ Δ. Φ.**
ΙΕΡΕΩΣ


Ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί, ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός.
*( Λουκ. Α' 48 ).*


ΕΚΔΟΤΑΙ: Χ. ΣΥΝΟΔΙΝΟΣ & Π. ΚΑΒΑΛΛΙΕΡΑΤΟΣ
Ὁδὸς Λέκκα 7α — Ἀθῆναι, 1939

ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

## Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ

ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

Ἀριθ. Πρωτ. 2043

Ἀθήνησι 19 Σεπτεμβρίου 1939

**Σεβασμιώτατε ἐν Χριστῷ Ἀδελφέ,**

Ἀπαντῶντες εἰς τὸ ἀπὸ 7ης Ἰουλίου ἐ. ἔ. ὑμέτερον ἔγγραφον, δι' οὗ ὑπεβάλατε πρὸς ἔγκρισιν τὴν ὑπὸ τοῦ Αἰδεσιμολ. Νικολάου Ἀβούρη, Ἱεροκήρυκος Ζακύνθου, φιλοτεχνηθεῖσαν ἐπιμελείᾳ δ' ὑμῶν διορθωθεῖσαν Ἱερὰν Ἀκολουθίαν εἰς τὴν Ὑπεραγίαν Θεοτόκον, ἐπὶ τῇ ἀναμνήσει τοῦ εἰς τὸν ἀείμνηστον Βασιλέα ἡμῶν Κωνσταντῖνον τελεσθέντος ὑπερφυοῦς θαύματος Αὐτῆς, ἵνα ψάλληται ἐν Τήνῳ τῇ 13ῃ Μαΐου ἑκάστους ἔτους, ἐπὶ τῇ ἐπετείῳ τοῦ θαύματος, Συνοδικῇ διαγνώμῃ, γνωρίζομεν ὑμῖν, ὅτι, μετὰ τὴν ληφθεῖσαν κανονικὴν συγκατάθεσιν τοῦ Σεβ. Μητροπολίτου Σύρου, συνῳδὰ τῇ ὑποβληθείσῃ ἐκθέσει τοῦ διεξελθόντος, Συνοδικῇ ἐντολῇ ταύτην, Σεβ. Μητροπολίτου Ζακύνθου, οὐδὲν ἐν αὐτῇ περιέχεται τὸ ἀπᾷδον τοῖς δόγμασι καὶ τῇ Ἱερᾷ παραδόσει τῆς Ὀρθοδόξου ἡμῶν Ἀνατολικῆς Ἐκκλησίας. Ἐκρίθη ὅμως ἀναγκαία ἡ διόρθωσις σφαλμάτων τινῶν μετρικῶν τε καὶ προσῳδιακῶν, ὡς καὶ περὶ τὴν φυσικὴν ἀπόδοσιν ἐννοιῶν τινων, ὑποδεικνυομένων ἁπάντων ἐν τῷ ἐπιστρεφομένῳ ὧδε ἀντιγράφῳ τῆς Ἱερᾶς ταύτης Ἀκολουθίας.

Ὅθεν ἐγκρίνεται μὲν ἡ ἐπιμελείᾳ ὑμῶν ἐκτύπωσις ταύτης καὶ χρησιμοποίησις ἐν τῷ ἐν Τήνῳ Ἱερῷ Ἱδρύματι τῆς **Εὐαγγελιστρίας** κατὰ τὴν διαληφθεῖσαν ἡμέραν, ἀλλὰ ὑπὸ τὸν ρητὸν καὶ ἀπαράβατον ὅρον τῆς διορθώσεως ἁπάντων τῶν ὡς εἴρηται ὑποδεικνυομένων.

Ἐπὶ τούτοις κατασπαζόμενοι τὴν ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ διατελοῦμεν μετ' ἀγάπης.

† ***Ὁ Ἀθηνῶν Χρύσανθος***, *Πρόεδρος*

*Ὁ Ἀρχιγραμματεὺς*

*Ἀρχιμ.* ***Πολύκαρπος Κουτσουπίδης***

**Σεβ. Μητροπολίτην Θηβῶν καὶ Λεβαδείας κ. Συνέσιον.**

ΚΟΙΝΟΠΟΙΗΣΙΣ:

**Σεβ. Μητροπολίτην Σύρου, Τήνου κλπ. κ. Φιλάρετον.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Τῇ Α. Μ. τῷ Εὐσεβεστάτῳ καὶ πολυτιμοτάτῳ ἡμῶν Βασιλεῖ

**Κωνσταντίνῳ Β'**

Τόδε τὸ ποίημα ἐν ᾧ ἐξυμνεῖται ἡ των ἁπάντων Βασίλισσα ἡ Αὐτὸν καὶ ἡμᾶς διασώσασα

Εὐλαβῶς ἀνατίθησιν

Ὁ πονήσας.

Ἀθῆναι τῇ 8ῃ Φεβρουαρίου 1916

**Αἰδεσιμώτατον Νικόλαον Π. Ἀβούρην Δ. Θ.**

**Ζάκυνθον**

**Αἰδεσιμώτατε,**

Καθ' ὑψηλὴν Βασιλικὴν Ἐπιταγὴν ἔχω τὴν τιμὴν ὅπως διαβιβάσω πρὸς ὑμᾶς τὰς τῆς Αὐτοῦ Μεγαλειότητος τοῦ Βασιλέως θερμᾶς εὐχαριστίας διὰ τὴν ἐμπνευσμένην Ἱερὰν Ἀκολουθίαν, ἣν συνετάξατε ἐπὶ τῇ διασώσει τοῦ Σεπτοῦ ἡμῶν Ἄνακτος, ὡς καὶ διὰ τὰς συνοδευούσας τὴν εὐγενῆ ταύτην ἀποστολὴν εὐλαβεῖς εὐχὰς ὑπὲρ τοῦ Ἄνακτος καὶ τῆς Βασιλικῆς Οἰκογενείας.

Μετ' ἀπείρου σεβασμοῦ καὶ τιμῆς.

Ὁ Αὐλάρχης τῆς Α. Μ. τοῦ Βασιλέως

Α. ΜΕΡΚΑΤΗΣ

## ΤΥΠΙΚΟΝ

Ἐπειδὴ κατὰ τὸ πλεῖστον ἡ 13 Μαΐου συμπίπτει ἐν τῷ Πεντηκοσταρίῳ, ἐὰν μὲν τύχῃ ἐν Κυριακῇ, συμψάλλεται ἡ Ἀκολουθία προηγουμένων πάντοτε τῶν τοῦ Πεντηκοσταρίου, δοξαστικὰ δὲ ψάλλονται ἐν μὲν τῷ Ἑσπερινῷ τοῦ Σαββάτου τὰ τῆς Ἀκολουθίας, ἐν δὲ τῷ Ὄρθρῳ τὸ τοῦ Πεντηκοσταρίου. Ἐὰν δὲ τύχῃ κατὰ τὴν ἡμέραν τῆς Ἀποδόσεως τοῦ Πάσχα ἢ τῇ Πέμπτῃ τῆς Ἀναλήψεως, μετατίθεται τῇ ἑπομένῃ Παρασκευῇ, καὶ ἐὰν τύχῃ τῇ Κυριακῇ τῆς Πεντηκοστῆς, ἢ τῇ Δευτέρᾳ τοῦ Ἁγίου Πνεύματος, μετατίθεται τῇ ἀμέσως ἑπομένῃ Τρίτῃ.

**Μηνὶ Μαΐῳ 13ῃ.**

**Ἀνάμνησιν ποιούμεθα τοῦ ὑπερφυοῦς θαύματος τῆς Θεοτόκου Εὐαγγελιστρίας, ὅτε ἰάσατο τὸν Βασιλέα Κωνσταντῖνον.**

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν καὶ τὴν α΄ στάσιν τοῦ Ψαλτηρίου, ἱστῶμεν στίχους 6 καὶ ψάλλομεν τὰ ἑπόμενα.**

**Στιχηρὰ προσόμοια.**

**Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.**

Ὢ τοῦ παραδόξου θαύματος! ἡ σεπτή σου εἰκών, ἐν Ἀθήναις σήμερον, ἐτέλεσε θαυμαστὰ καὶ ὑπερένδοξα, Παρθένε Μήτηρ Θεοῦ, τὸν Βασιλέα ἡμῶν γὰρ ἰάσατο, καὶ ἔσωσε δι᾽ αὐτοῦ, τὴν χώραν πᾶσαν ἡμῶν κινδυνεύουσαν, μετ᾽ εὐγνωμοσύνης πάσης, ἐκβοῶσαν πάντοτε, Χαῖρε Δέσποινα, Χαῖρε, χριστιανῶν τὸ καταφύγιον. (Δίς).

Τὸ σὸν τιμῶμεν εἰκόνισμα, ἱερός τε κλῆρος, λαὸς καὶ ἐπίσκοποι, καὶ πάντες οἱ εὐσεβεῖς, Παρθένε ἄχραντε, προσβλέποντες ἐν αὐτῷ τὴν γλυκυτάτην μορφήν σου πανάμωμε, τὴν πάντοτε θαυμαστῶς, παρηγορίας ἐλπίδα ἐκχέουσαν, τοῖς ἀσπαζομένοις πόθῳ, αὐτὴν καὶ σὺν δάκρυσι, καὶ αἰτοῦσιν ἐν πίστει, διὰ σοῦ τὸ μέγα ἔλεος. (Δίς).

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Σὺ τῶν ὀρθοδόξων καύχημα, ἀσθενούντων ρῶσις καὶ Ἑλλήνων στήριγμα, καὶ πάντων τῶν εὐσεβῶν τὸ ἀγαλλίαμα, Θεόνυμφε Μαριάμ, δι' ἧς ὁ Ἄναξ ἡμῶν θεραπεύεται, διὸ εἰκόνα τὴν σήν, νῦν προσκυνοῦντες βοῶμεν σοι ἔκθαμβοι, Εὐαγγελιστρίας πάντες Χαῖρε θρόνε πύρινε, τοῦ Ὑψίστου καὶ δόξα, Ἐκκλησίας ἡ παγκόσμιος. (Δίς).

**Δόξα καὶ νῦν. (Ὀκτώηχον). Ἦχος α'.**

Νοεροῖς ὀχήμασι πάντοθεν παῖδες Ἑλλήνων οἱ γνήσιοι, εἰς τὰς Ἀθήνας ἐν πόθῳ ἀγομένοι.

**(Ἦχος πλ. α'). Γονυπετοῦντες τὴν πανσέβαστον καὶ θαυματουργὸν τῆς Θεοτόκου εἰκόνα ἐν θάμβει ἀσπάζονται.**

**(Ἦχος β'). Αἱ δὲ ὑπέρταται τῶν ἐν αὐταῖς ἀξίαι, σὺν τῷ Προέδρῳ καὶ τῷ κλήρῳ παραγενόμεναι.**

**(Ἦχος πλ. β'), Τὸ ὑπὲρ φύσιν τε καὶ ἐξαίσιον θαῦμα κατιδόντες, τῷ φόβῳ κρατούμεναι, εὐγνωμοσύνης ἐπλήσθησαν, καὶ ἐν συγκινήσει ἐβόων πρὸς Σὲ Παρθένε μετ' εὐλαβείας.**

**Ἦχος γ'. Ἰδοὺ ἡ πανθαύμαστος εἰκών σου παραγέγονεν.**

Δεῦτε οὖν πάντες δάκρυσι τὴν Παναγίαν προσκυνήσωμεν, τὴν τῶν ἀσθενῶν ἀρραγῆ ἐλπίδα.

(Ἦχος βαρύς). Διὰ ταύτης γὰρ ὡς ἀληθῶς ὁ Πανάγιος Λόγος σήμερον, ὁ χορηγῶν χάριν ἀέναον, τὸν Ἄνακτα ἐκ κινδύνου βεβαίου ἐρρύσατο,

(Ἦχος δ'). Ταύτης γὰρ τὸ μεγαλεῖον καταπλήττει τὴν διάνοιαν.

(Ἦχος πλ. δ'). Διὸ ἅπαντες συνελθόντες, τρανῶς σοι τῇ Μητρὶ τοῦ Ἰησοῦ βοῶμεν πίστει· πρέσβευε τῷ σῷ Υἱῷ, διαφυλάξαι καὶ σῶσαι ἀπὸ πάσης προσβολῆς πολεμίων νῦν τὴν Ἑλλάδα σου, ἄλλην γὰρ μεσιτείαν οὐκ ἔχομεν.

(Ἦχος α'). Ἐν τοῖς κινδύνοις, εἰ μὴ μόνην σε, ὦ Παντάνασσα.



**Εἴσοδος.**
**Τὸ φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας ἐκ γ' καὶ τὰ ἀναγνώσματα.**
**Γενέσεως τὸ Ἀνάγνωσμα κεφ. ΚΗ'. 10-18.**

Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἐπορεύθη εἰς Χαρρὰν καὶ ἀπήντησε τόπῳ καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος. Καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου καὶ ἔθηκε πρὸ κεφαλῆς αὐτοῦ καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ. Καὶ ἐνυπνιάσθη, καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανὸν καὶ οἱ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτῆς. Ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ' αὐτῆς καὶ εἶπεν· Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ Θεὸς Ἰσαάκ, μὴ φοβοῦ, ἡ γῆ ἐφ' ἧς σὺ καθεύδεις ἐπ' αὐτῆς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου. Καὶ ἔσται τὸ σπέρμα σου ὡσεὶ ἄμμος τῆς γῆς, καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν καὶ Λίβα καὶ ἐπὶ Ἀνατολὰς καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ἐν τῷ σπέρματί σου. Καὶ ἰδοὺ ἐγὼ μετὰ σοῦ, διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς καὶ ἀποτρέψω σε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλείπω, ἕως τοῦ ποιῆσαι με πάντα ὅσα ἐλάλησά σοι. Καὶ ἐξηγέρθη Ἰακὼβ ἀπὸ τοῦ ὕπνου αὐτοῦ καὶ εἶπεν· ὅτι ἔστι Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν. Καὶ ἐφοβήθη καὶ εἶπεν· ὡς φοβερὸς ὁ τόπος οὗτος οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ.

**Βασιλειῶν γ' τὸ ἀνάγνωσμα (η' 1-12)**

Ἐγένετο ὡς συνετέλεσε Σολομών, τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου καὶ ἐξεκκλησιάσατο πάντας τοὺς πρεσβυτέρους Ἰσραὴλ ἐν Σιών, τοῦ ἀνανεγκεῖν τὴν Κιβωτὸν τῆς Διαθήκης τοῦ Κυρίου ἐκ πόλεως Δαυῒδ αὕτη ἐστὶ Σιών. Καὶ ἦραν οἱ ἱερεῖς τὴν Κιβωτόν, καὶ τὸ Σκήνωμα τοῦ μαρτυρίου καὶ πάντα τὰ σκεύη τὰ ἅγια τὰ ἐν τῷ σκηνώματι τοῦ μαρτυρίου. Καὶ ὁ Βασιλεὺς καὶ πᾶς Ἰσραήλ, ἔμπροσθεν τῆς Κιβωτοῦ καὶ εἰσφέρουσιν οἱ ἱερεῖς τὴν Κιβωτὸν τῆς Διαθήκης Κυρίου εἰς τὸν τόπον αὐτοῦ, εἰς τὸ δαβὶρ τοῦ οἴκου, εἰς τὰ Ἅγια τῶν Ἁγίων, ὑπὸ τὰς πτέρυγας τῶν Χερουβίμ. Ὅτι τὰ Χερουβὶμ διαπεπετασμένα ταῖς πτέρυξιν ἐπὶ τοῦ τόπου τῆς Κιβωτοῦ καὶ περιεκάλυπτον τὰ Χερουβὶμ ἐπὶ τὴν Κιβωτὸν καὶ ἐπὶ τὰ Ἅγια αὐτῶν ἐπάνω. Καὶ οὐκ ἦν ἐν τῇ Κιβωτῷ, πλὴν αἱ δύο πλάκες λίθιναι

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

πλάκες τῆς διαθήκης, ἃς ἔθηκεν ἐκεῖ Μωϋσῆς ἐν Χωρήβ, ἃς διέθετο Κύριος. Καὶ ἐγένετο ὡς ἐξῆλθον οἱ ἱερεῖς ἐκ τοῦ ἁγίου, καὶ ἡ νεφέλη ἔπλησε τὸν οἶκον Κυρίου. Καὶ οὐκ ἠδύναντο οἱ ἱερεῖς στῆναι λειτουργεῖν πρὸ προσώπου τῆς νεφέλης, ὅτι ἔπλησεν ἡ δόξα Κυρίου τὸν οἶκον Κυρίου.

**Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα (α΄ 10)**

Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ, ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με. Ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ. Καὶ ὡς γῆ αὔξουσα τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ ἐκφύει, οὕτως ἀνατέλλει Κύριος δικαιοσύνην καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐθνῶν. Διὰ Σιὼν οὐ σιωπήσομαι καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθη ὡς φῶς ἡ δικαιοσύνη μου, τὸ δὲ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται. Καὶ ὄψονται τὰ ἔθνη τὴν δικαιοσύνην σου καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου καὶ καλέσουσι τὸ ὄνομά σου τὸ καινόν, ὃ ὁ Κύριος ὀνομάσει αὐτὸ καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ καὶ διάδημα βασιλείας ἐν χειρὶ Θεοῦ σου. Καὶ οὐκ ἔτι κληθήσῃ καταλελειμμένη καὶ ἡ γῆ σου οὐκ ἔτι κληθήσεται ἔρημος· σοὶ γὰρ κληθήσεται θέλημα ἐμὸν καὶ τῇ γῇ σου Οἰκουμένη ὅτι εὐδοκήσει Κύριος ἐν σοί, ἡ γῆ σου συνοικισθήσεται. Καὶ ὡς συνοικῶν νεανίσκος παρθένῳ οὕτω κατοικήσουσιν οἱ υἱοί σου καὶ ἔσται ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί.

**Ἐπὶ τὴν Λιτήν. Ἦχος α΄.**

Πάλιν ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἑορτὴν πανηγυρίζει εὐφρόσυνον, τιμῶσα καὶ λιτανεύουσα τὴν θαυμαστὴν εἰκόνα τῆς μεγάλης Βασιλίσσης. Ἱερεῖς προσελθόντος τοίνυν ὕμνους καὶ ᾠδὰς πνευματικὰς προσάξατε τῇ Μητρὶ τοῦ Κυρίου, λαοὶ εὐφράνθητε πνευματικῶς, τιμῶντες τὴν καλλονὴν τῶν Προφητῶν. Πανέλληνες, τὴν χαρὰν ἡμῶν πάντες, ἐξαγγείλωμεν, δοξάζοντες τὴν μεγάλην εὐεργέτιδα τῆς χώρας. Πάντες ὀρθόδοξοι καὶ ἀληθινοὶ χριστιανοί, πᾶσαι αἱ γενεαί, μακαρίσατε τὴν ἀειμακάριστον Παναγίαν, τὴν πάντοτε ἑτοίμην διαφυλάξαι καὶ σῶσαι ἡμᾶς.



**Ὁ αὐτός.**

Νίκην περιφανῆ πάλιν ἤρατο ἡ ὑπέρμαχος στρατηγός, ὡς γὰρ τῶν Ἀβάρων καὶ Ἀράβων τὰ στίφη πάλαι ἐτροπώσατο, δὶς συμμαχήσασα μετὰ τοῦ Ὀρθοδόξου ἡγεμόνος κατὰ τῶν τῆς Ἄγαρ καὶ λοιπῶν πολεμίων, οὕτω καὶ νῦν ἐπιστᾶσα θαυμαστῶς, ἀποδιώκει τὴν φοβερὰν ἀπὸ τοῦ Ἄνακτος νόσον καὶ ἀποδίδει τοῦτον πάλιν ὑγιαίνοντα καὶ ἀκμαῖον εἰς τὸ Ἔθνος αὐτοῦ. Δῶμεν οὖν ἅπαντες μεγαλωσύνην τῷ Θεῷ.

**Ἦχος β΄.**

Εὐηγγελίσατο ὁ Γαβριὴλ τῇ Κεχαριτωμένῃ πρότερον· χαῖρε ἡ μόνη εὐλογημένη ἐν γυναιξί. Καὶ ἡ ἱερὰ αὕτη καὶ σεμνοτάτη σκηνή, ἀπεικονισθεῖσα τε εὐλαβῶς ἐν Τήνῳ τῇ Θεοσώστῳ, καὶ φυλαχθεῖσα, εὐαγγελίζεται σήμερον χαρὰν μεγάλην, ὅτι διεσώσατο ἐκ βεβαίου κινδύνου τὸν εὐσεβῆ τοῦ Μεγάλου Κωνσταντίνου διάδοχον.

**Δόξα καὶ νῦν. Ἦχος πλ. α΄.**

Ἐν τῇ τῶν γραμμάτων πόλει, τῆς πανυπεράγνου Κόρης, εἰκὼν μετηνέχθη ποτέ· ἐκεῖ αἱ ἀρχαὶ ὑποδέχονται ἔκθαμβοι, ἐν Τήνῳ οἱ πιστοὶ προσεύχονται ἔμφοβοι. Τότε ὁ λαὸς ἐπλήσθη ὑπερμέτρως χαρᾶς, νῦν δὲ ᾄσμασι γηθοσύνως γεραίρει τὴν Παρθένον. Ἡ νόσος γὰρ μετὰ τὴν ἄφιξιν τοῦ θησαυροῦ, ἔγινεν ἄφαντος, οἱ ἄπιστοι μετὰ τὴν ἴασιν τοῦ ἀσθενοῦς ἔμειναν ἄναυδοι. Ὁ τῶν θαυμασίων Μέγας Θεός, ἱκεσίαις τῆς ἁγνῆς Μητρός, ἐλέησον ἡμᾶς.

**Εἰς τὸν Στίχον. Στιχηρὰ προσόμοια.**

**Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.**

Χαίρει ὄντως μεγάλην χαράν, ἅπαν τὸ Ἔθνος τῶν Ἑλλήνων τὴν σήμερον τὸν ἔνδοξον Κωνσταντῖνον, τὸν Βασιλέα αὐτοῦ, νῦν ἀπολαμβάνον ὑγιαίνοντα, δοξάζον τὸν Κύριον καὶ τιμῶν σε, Παντάνασσα, δι᾽ ἧς ἐκ πάσης, περιστά-

ΠΑΝΝΕΛΛΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σεως πάντοτε, διασώζεται, καὶ κινδύνων καὶ θλίψεων. Ὅθεν καὶ τὴν πανσέβαστον, εἰκόνα σου ἄχραντε, νῦν λιτανεῦον ἐν πίστει, μετ' εὐλαβείας κραυγάζει σοι. Θεοῦ σὺ ὑπάρχεις, Μήτηρ ὄντως καὶ ἁπάντων, τῶν προσιόντων σοι.

**Στίχ. Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.**

Πάντες ἀνευφημοῦμεν λαμπρῶς, βάτον τὴν ἄφλεκτον, Παρθένε σὲ Δέσποινα, ἣν πάλαι Μωσῆς κατεῖδε καὶ Προφητῶν ὁ χορός, Θεοτόκε, ῥάβδον προσηγόρευσε, νεφέλην κατέχουσαν τὸν τῆς χάριτος ὄμβρον τε, καὶ κεκλεισμένην πύλην στάμνον καὶ στήλην τε, καὶ λαμπάδα σε, τοὺς πιστοὺς νῦν φωτίζουσαν· θρόνον ἐν ᾧ πανάχραντε, Χριστὸς ἀναπαύεται, καὶ ἐπουράνιον ὄντως, κλίμακα θείαν καὶ Τράπεζαν, σοφὸν ἰατρόν τε τὸν σεπτὸν γὰρ Βασιλέα, σὺ ἐθεράπευσας.

**Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.**

Πᾶσαι αἱ γενεαὶ ἀληθῶς, μακαριοῦσι σε Παρθένε ὡς ἔφησας, ἰδοὺ γὰρ ὁ πάντων Κτίστης καὶ Δυνατός, θαυμαστά, ὡς ἐποίησέ σοι μεγαλεῖα νῦν, τὸ ἔλεος πάντοτε, καταπέμπει μεστότατον, τοῖς φοβουμένοις τὸ αὐτοῦ πανσεβάσμιον, καὶ πανάγιον, φοβερὸν ὄντως ὄνομα, κράτος δ' ἐν τῷ βραχίονι, αὐτοῦ νῦν ἐποίησεν, ὑπερηφάνους τε πάντας κακοὺς κακῶς διεσκόρπισε, καθεῖλε δυνάστας ἀπὸ θρόνων, ταπεινούς τε πολλοὺς ἀνύψωσεν.

**Δόξα καὶ νῦν. Ἦχος πλ. δ'.**

Βασιλική, μᾶλλον δὲ Ἑλληνικὴ πανήγυρις σήμερον φιλέορτοι, ὁ γὰρ εἰπὼν ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὅτε ἐδέξατο τῶν Ἑλλήνων τὴν ἐπίσκεψιν, ὁ αὐτὸς σήμερον δοξάζει πάλιν τοὺς αὐτοῦ ἐπισκέπτας. Μεγίστη ἡ εὔνοιά σου, τῷ γένει ἡμῶν, Παντοδύναμε, μεγάλη καὶ ἡ πίστις ἡμῶν πρὸς Σὲ Ὑπεράγαθε. Ὑπερφυὲς δὲ καὶ τὸ θαῦμα τὸ τελεσθὲν τῇ μεσιτείᾳ τῆς Μητρός, σου, τῆς ἐλπίδος καὶ μόνης καταφυγῆς τῶν χριστιανῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



**Τὸ Νῦν ἀπολύεις. Τὸ Τρισάγιον κτλ.**

**Ἀπολυτίκιον. Ἦχος δ'.**

Σήμερον τῆς εὐσπλαγχνίας Θεοῦ τὸ τεκμήριον, καὶ τῆς τῶν Ἑλλήνων σωτηρίας ἡ φανέρωσις, ὁ γὰρ σεπτὸς Βασιλεύς, ἡμῶν ταχέως θεραπεύεται, ταῖς τῶν ἁπάντων Βασιλίσσης ἐντεύξεσι. Πρὸς ἣν καὶ ἡμεῖς εὐγνωμονοῦντες βοήσωμεν: Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετα σοῦ.

**Καὶ νῦν. Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον.**

**Ἀπόλυσις.**

---

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Εἰς τὸ Θεὸς Κύριος τὰ αὐτὰ ἀπολυτίκια ὡς εἰς τὸν ἑσπερινόν.**

**Μετὰ δὲ τὴν α' στιχολογίαν Κάθισμα.**

**Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.**

Κατεπλάγη ἀληθῶς, τῶν Πανελλήνων ὁ λαός, ὅτε εἶδε θαυμαστῶς, τὸν Βασιλέα τὸν σεπτόν, διασωθέντα ἐξαίφνης ἐκ τοῦ θανάτου, δάκρυα δ' εὐθὺς συγκινήσεως, ἅπαντες χαρᾶς εὐγνωμόνως τε, πρὸς τὴν εἰκόνα ἔχεον Θεόνυμφε, τὴν σήν, Παρθένε τὴν πάνσεπτον, θαῦμα γὰρ ὄντως ἀρρήτου φθέγγους, ἐτέλεσε σήμερον.

**Δόξα καὶ νῦν τὸ τῆς ἑορτῆς.**

**Μετὰ δὲ τὴν β' στιχολογίαν Κάθισμα.**

**Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.**

Μητέρα σε Θεοῦ, εὐσεβῶν τε ἁπάντων, ἐλπίδα ἀσθενῶν καὶ σωτηρίαν πλεόντων, σὲ ἔχομεν Πανάχραντε, Παναγία Θεόνυμφε, σὺ γὰρ ἔδειξας τὴν προστασίαν σου ὄντως, διασώσασα, τὸν εὐσεβῆ ἡγεμόνα, δεινῶς κινδυνεύοντα.

**Δόξα καὶ νῦν τὸ τῆς ἑορτῆς.**

**Εἶτα ὁ Πολυέλαιος τῆς Θεοτόκου «Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθὸν καὶ μετ' αὐτὸν Κάθισμα.**

**Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.**

Χαῖρε Τῆνος ἀγάλλου, ὅτι ἠξίωσαι, θησαυροῦ νῦν τιμίου, εἰς σωτηραίν ἡμῶν, τὴν εἰκόνα οὖν πιστοὶ νῦν προσκυνήσωμεν, τῆς Θεοτόκου καὶ ἁγνῆς σὺν εὐλαβείᾳ πολλῇ, τὴν θαυματόβρυτον πάντες, ἐγείρει γὰρ ἀσθενοῦντας καὶ διασώζει κινδυνεύοντας.

**Δόξα καὶ νῦν. Τὸ αὐτό.**

**Εἶτα οἱ ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου.**

**(Ἐκ νεότητος μου κτλ.)**

**Προκείμενον.**

**Τὸ προσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.**

**Στίχ. Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου . . .**

**Πᾶσα πνοή.**

**Εὐαγγέλιον (κατὰ Λουκᾶν α' 39)**

**Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριὰμ . . .**

**Εἶτα ὁ Ν' ψαλμὸς χῦμα (Ἐλέησόν με ὁ Θεὸς κτλ.)**

**Δόξα. Ταῖς τῆς Θεοτόκου . . . Καὶ νῦν. Τὸ αὐτό.**

**Εἶτα ὁ στίχος Ἐλέησόν με ὁ Θεὸς καὶ ψάλλομεν εἰς ἦχον πλάγιον δ'.**

**Τὸ Δέσποινα πρόσδεξαι τὰς δεήσεις . . .**

**Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.**

Σωθεῖσα ἡ χώρα σου, νῦν χαριστήριον ὕμνον σοι, Παρθένε ἐρεύγεται, μετ' εὐλαβείας πολλῆς καὶ ἐν δάκρυσι κραυγάζει σὺ ὑπάρχεις, πιστῶν τὸ κραταίωμα, πάντων Ἑλλήνων τε.

Ο Ἄναξ δεινότατα, νῦν ἀσθενήσας Πανάμωμε, προστρέχει σοι Πάναγνε, τῇ προστασίᾳ τῇ σῇ καὶ κραυγάζει σοι ἐν ὅλῃ τῇ καρδίᾳ, σὺ λύτρωσαι Δέσποινα καὶ σῶσον τὸν δοῦλόν σου.



Ἰάθη Πανάχραντε, ὁ Κωνσταντῖνος τὴν σήμερον, ζητήσας τὴν ἴασιν ἐκ μόνης σοῦ τῆς Μητρός, τοῦ Κυρίου μου καὶ πάντων τῶν Ἑλλήνων οὓς φύλαττε πάντοτε τῇ μεσιτείᾳ σου.

**Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.**

Θαρσείτω καὶ χαῖρε νῦν ἡ πόλις γραμμάτων καὶ τῶν ἐπιστημῶν, ἰδοῦσα ὄντως σήμερον τὴν ἔγερσιν τοῦ Ἄνακτος καὶ σὺν αὐτῇ Πανέλληνες πνευματικῶς νῦν εὐφράνθητε.

Ναόν σου τὸν Ἅγιον κυκλοῦντες, Παρθένε, τιμῶμεν ἐν αὐτῷ, εἰκόνα σου τὴν πάνσεπτον, βραβεύει γὰρ τὴν ἴασιν, τῷ Βασιλεῖ, ὦ Δέσποινα, τῶν εὐσεβῶν καταφύγιον.

Ὑμνοῦμεν σε Κόρη, ἣν ὁ μέγας, ἐν βάτῳ προεῖδε Μωϋσῆς, καὶ γὰρ οὐ κατεκαίετο, ὥσπερ καὶ σὺ Πανάχραντε, Παρθένος γὰρ διέμεινας τὸν Θεὸν Λόγον γεννήσασα.

**Κάθισμα. Ἐπεφάνης σήμερον. Ἦχος δ'.**

Η Παρθένος σήμερον τῇ οἰκουμένῃ, μέγα θαῦμα ἔδειξε τὸν Βασιλέα γὰρ ἡμῶν, τὸν Κωνσταντῖνον ἰάσατο καὶ διὰ τούτου τὸ Ἔθνος διέσωσεν.

**Δόξα καὶ νῦν. Τὸ αὐτό.**

**Ὠδὴ δ'. Τὴν ἀνεξιχνίαστον.**

Θαῦμα τὸ ἐν σοὶ ὡς προεῖπε Δαυΐδ, τῆς ἀτελευτήτου μακαριότητος, σοῦ Θεοτόκε, οὗτινος πάντες εὐλαβῶς μνησθήσονται οἱ δοῦλοι σου, οὓς περ μὴ παρίδῃς Πανάχραντε.

Ἰσχὺν κεκτημένη, ὡς ἔφη Σολομών, ὑπερῆρας πάσας εἰς δύναμιν, σὺ θυγατέρας τὰς ἐκ γένους Ἰσραήλ, ὅθεν τοὺς σοὶ προστρέχοντας, μὴ ἐγκαταλίπῃς Παντάνασσα.

Ὥσπερ συνεχόμενοι δίψῃ σφοδρᾷ, καὶ θέρμῃ τῶν παθῶν φλογιζόμενοι, προστρέχομεν σοι, τῇ τῶν χαρίτων πηγῇ, κατασβέσαι δεόμενοι, φλόγα τῶν παθῶν τοῖς σοῖς νάμασιν.

**Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.**

Κηρύττει σαφέστατα, τὸ θεῖον σου μυστήριον, ὁ μέγας ἐκεῖνος Ἡσαΐας, ἰδοὺ Παρθένος ἐν γαστρὶ λήψεται. καὶ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ • ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τέξεται τὸν Ἐμμανουήλ, ᾧ ὑπὲρ τῶν δούλων σου, σὺ πρεσβεύεις ἑκάστοτε.

Λαβίδα πανάχραντον, σὲ εἰκονίζει Δέσποινα, τρόπῳ, θαυμασίῳ ὁ Ἠσαΐας, δι' ἧς ὁ ἄνθραξ, Χριστός, Σωτὴρ τοῦ παντός, ἀψάμενος στόματος αὐτοῦ, ἀνομίαν ἅπασαν θαυμαστῶς ἐναπέπλυνεν.

Ἀθύμως διάκειμαι, ὡς πάσχων καθ' ἑκάτερα, σώματι μὲν βίου ταῖς βασάνοις, ψυχῇ δὲ πάθει ἀμπλακημάτων δεινῶν. Τίνα οὖν εὑρήσω χαρμονὴν εἰ μὴ σὲ ἀκέστορα, τοῦ ἰᾶσαι ἀμφότερα.

**Ὠδὴ στ'. Τὴν θείαν ταύτην καὶ πάντιμον.**

Κυρία πάντων ὑπάρχουσα, βραβεύεις θαυμαστῶς σὺ τὴν ἴασιν, καὶ τὴν ὑγείαν τε, τῷ Βασιλεῖ ἡμῶν Δέσποινα, καὶ διασώζεις ἅμα πᾶσαν τὴν χώραν σου.

Ἀρρήτῳ πάντες συνέρρευσαν, χαρᾷ καὶ εὐφροσύνῃ ἀσπάσασθαι, πιστὴν εἰκόνα σου, Ἁγνή, Ἀρχαὶ κλῆρος ἅπας τε καὶ σύμπας Ἀθηναίων δῆμος, Πανάχραντε.

Ζητοῦντες πάντες βοήθειαν, οἱ Ἕλληνες ὁπόταν ἠσθένησεν ὁ πολυτίμητος, πρὸς σὲ καὶ μόνην προσέτρεξαν τὴν πανσθενεστάτην ὄντως βασίλισσαν.

**Κοντάκιον.**

**Ἦχος πλ. β'. Τὴν ἐν πρεσβείαις.**

Τὸν ἐν κινδύνῳ βεβαίῳ περιελθόντα καὶ προστασίαν ἐκζητήσαντα τὴν θείαν, νόσος ἡ ἐπώδυνος οὐκ ἐκράτησεν, τὴν γὰρ Ζωῆς μητέρα ὡς τῆς Ζωῆς τὴν πρόξενον ὁ Ἄναξ ἐκάλεσεν ἐπίκουρον.

**Ὁ Οἶκος.**

Ποία γλῶσσα ἱκανὴ λαλῆσαι τὴν συγκίνησιν; ποῖος κάλαμος διαγράψαι δυνατὸς τὴν κατάνυξιν, τὴν εὐλάβειαν, τὸν πόθον, τὸν ἐνθουσιασμόν, τὴν ταραχήν, τὴν ἐλπίδα, τὴν εὐσέβειαν, τὴν πίστιν ἑνὸς πάσχοντος λαοῦ, ὑποδεχομένου τὸ πανελλήνιον προσκύνημα; Ἐκεῖ ἀρχιερεῖς, κλῆρος ἱερός, παιδία ἄθῷα, ἄνδρες, γυναῖκες, πλούσιοι, πένητες, ἀρχαί, ἰδιῶται, στρατιωτικοί, πολῖται, ἐκεῖ οἱ πάντες δάκρυα εἰλικρινῆ χέοντες, ἀκλόνητοι ἐν πίστει ἀναμένουσι τὴν ἔγερσιν τοῦ νέου Λαζάρου. Οὐδεμίαν γὰρ ἐλπίδα ἀνθρωπίνην ἀνέμενεν οὐδεὶς καὶ διὰ τοῦτο τὴν Εὐαγγελίστριαν καὶ μόνην ἐν τῷ βεβαίῳ κινδύνῳ ὁ λαὸς ἐκάλεσεν ἐπίκουρον.



**Συναξάριον τὸ τοῦ μηνιαίου, εἶτα**

Τῇ 13ῃ τοῦ μηνὸς Μαΐου ἀνάμνησιν ποιούμεθα τοῦ ὑπερφυοῦς θαύματος, ὅπερ ἡ Θεοτόκος ἐνήργησεν ἐν Ἀθήναις διὰ τῆς θαυματουργοῦ αὐτῆς ἐν Τήνῳ εἰκόνος τῆς Εὐαγγελιστρίας, ὅτε τὸν σεπτὸν Βασιλέα τῶν Ἑλλήνων Κωνσταντῖνον ἰάσατο.

» Τέρας νεουργὸν τιμῶμεν σου Παρθένε.<br>
Ἔσωσας καὶ γὰρ τὸν Ἄνακτα χ' ἡμᾶς τε.<br>
Ἀμφὶ δεκάτην τρίτην σθένει Μέδων Ἑλλήνων.

**Ἕτεροι πολιτικοί**

Διεφύλαξας Παρθένε ἐκ βεβαίου νῦν κινδύνου τὸν Διάδοχον Ἐκείνου τοῦ Μεγάλου Κωνσταντίνου.

Εἶναι μὲν ὄντως ἡ νῆσος Τῆνος μία ἀπὸ τὰς ὡραιοτέρας τῶν Κυκλάδων αὕτη τυγχάνει ἡ πατρὶς πολλῶν διαπρεπῶν προσώπων καὶ ἐν τῇ ἐκκλησίᾳ καὶ ἐν τῇ ἐπιστήμῃ καὶ ἐν τῇ τέχνῃ (ἐπισκόπων, ζωγράφων, γλυπτῶν κλπ.) ἔχει κατοίκους εὐσεβεῖς καὶ εὐφυεῖς, ἀλλ' ὅ,τι δοξάζει τὴν Τῆνον εἶναι τὸ πανελλήνιον (ἂν μὴ καὶ πανορθόδοξον) προσκύνημα. Ἡ θαυματουργικωτάτη εἰκὼν τῆς Θεοτόκου Εὐαγγελιστρίας, φυλασσομένη ἐντὸς τοῦ ὁμωνύμου Ναοῦ.

Ἡ σεπτὴ αὕτη καὶ θαυμασία εἰκὼν εἶναι γνωστὸν ὅτι εὑρέθη κατὰ τὴν 30ὴν Ἰανουαρίου τοῦ ἔτους 1823. Ἀπὸ τότε δὲ τὸ πανάγιον τοῦτο εἰκόνισμα, τεθὲν ἐντὸς περικόμψου θήκης καὶ κοσμηθὲν γύρω δι' ἀδαμάντων πολυτιμοτάτων, κατέστη τὸ ἀγαστότερον τοῦ Ναοῦ κειμήλιον, ἀποτελοῦν τὸ ἱερώτερον προσκύνημα τῶν συρρεόντων ἐκεῖ Χριστιανῶν, καὶ τὸ ἀσφαλέστερον καταφύγιον τῶν διαφόρων ἀσθενῶν. Διότι τί γίνεται ἐν Τήνῳ κατὰ τὰς δύο ἰδίως πανηγύρεις τοῦ Ναοῦ, τὴν 15ην Αὐγούστου καὶ τὴν 25ην Μαρτίου, ὅτε πανηγυρίζει ὁ Ναός,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

εἶναι ἀνώτερον πάσης περιγραφῆς. Δὲν ὁμιλοῦμεν μόνον περὶ τῆς μεγάλης συρροῆς καὶ φυσικὰ τοῦ συνωστισμοῦ, ὅστις παρατηρεῖται ἐκ τοῦ ἀμετρήτου πλήθους τῶν προσκυνητῶν. Ἀλλὰ τονίζομεν τὴν ἀκλόνητον πεποίθησιν καὶ ἀφοσίωσιν αὐτῶν ἐπὶ τὴν προστασίαν τῆς Θεοτόκου. Καὶ τὸ δίκαιόν των εἶναι πλήρες διότι τίς δύναται νὰ περιγράψῃ καὶ ἀπαριθμήσῃ τὰ ὑπὸ τῆς Χάριτος τῆς Παναγίας ἐκεῖ ἐπιτελούμενα ἐκπληκτικώτατα θαύματα; Τοιοῦτόν τι φοβερὸν πράγματι θαῦμα ἀπετέλεσε καὶ σήμερον ἡ πανσέβαστος αὕτη εἰκών. Κατὰ τὰς ἀρχὰς δηλ. Μαΐου τοῦ ἔτους 1915 ἡ ἀσθένεια τοῦ Βασιλέως τῶν Ἑλλήνων Κωνσταντίνου ἤρχισε νὰ προκαλῇ σοβαρὰς ἀνησυχίας, τόσον, ὥστε ἡ ἐπιστήμη πλέον δὲν εἶχε μέσα πρὸς διάσωσιν τῆς πολυτίμου αὐτοῦ ζωῆς. Καὶ τότε ὁ Λαός, ὁ ὁποῖος τοσοῦτον ὑπερηγάπα τὸν Βασιλέα του, ἐζήτησεν ἀπαιτητικῶς τρόπον τινά, ὅπως μεταφερθῇ ἡ Ἁγία αὕτη εἰκὼν παρὰ τὴν κλίνην τοῦ σεπτοῦ ἀσθενοῦς, μὲ τὴν πεποίθησιν ὅτι θὰ τοῦ ἀπέδιδεν ἀσφαλῶς τὴν ποθουμένην ὑγείαν. Ἀφοῦ δὲ ἡ δικαία καὶ φυσικὴ ἄλλως τε ἀπόφασις τοῦ λαοῦ υἱοθετήθη καὶ παρὰ τῶν ἐν τοῖς Ἀνακτόροις, ἀπεφασίσθη ἡ μεταφορὰ τῆς εἰκόνος ἐκ Τήνου τὴν 13ην Μαΐου. Τὰ κατὰ τὴν μεταφορὰν γεγονότα ὅμως δὲν εἶναι δυνατὸν νὰ περιγραφοῦν ἐνταῦθα. Εἶναι ταῦτα ἄλλως τε σύγχρονα, καὶ δύναται ὁ ἐπιθυμῶν νὰ διεξέλθῃ τὰς ἐφημερίδας τῆς πρωτευούσης τῶν ἡμερῶν ἐκείνων (διὰ τὴν μεταφορὰν ἀκριβῶς τῆς 14 Μαΐου 1915). Πάντως ἡ παραλαβὴ τοῦ πανσέπτου εἰκονίσματος ἔγινεν ἐν Πειραιεῖ καὶ ἐν τῷ Ι. Ναῷ τῆς Ἁγίας Τριάδος ὑπὸ τοῦ Μητροπολίτου Ἀθηνῶν Θεοκλήτου. Μεταφερθεῖσα δὲ ἐν Ἀθήναις καὶ ἐναποτεθεῖσα εἰς τὸν Μητροπολιτικὸν Ναὸν ὄχι ἐπὶ πολύ, μετεκομίσθη τέλος εἰς τὰ ἀνάκτορα, ἐναποτεθεῖσα παρὰ τὸ προσκεφάλαιον ἐντὸς τοῦ δωματίου τοῦ ἀσθενοῦς, τὸ ὁποῖον μετεβλήθη εἰς Ναὸν οὕτως εἰπεῖν. Ὁ Βασιλεὺς τότε ἐξύπνησεν ἐκ τοῦ ληθαργικοῦ ὕπνου εἰς τὸν ὁποῖον εἶχεν ὑποπέσει εἰς τὸ πρόσωπόν του διεχύθη πάραυτα κάποια γαλήνη, ἔγινεν εὐδιάθετος καὶ ὁμιλητικός. «Ποῖος ἦλθεν ἐδῶ καὶ μὲ ἐπεσκέφθη; εἶπεν ὁ ἀσθενής. Ἐκοιμήθηκα ὡραῖα». Ἀποτεινόμενος πρὸς τοὺς παρισταμένους κατὰ τὴν σοβαρὰν ἐκείνην στιγμήν, «αἰσθάνομαι τὸν ἑαυτόν μου καλλίτερα, ὁ ὕπνος μοῦ ἔδωσε δυνάμεις». Ὁ ἀσθενὴς εὑρίσκετο πλέον ἐκτὸς κινδύνου, ἀμέσως ἤρχισεν ἡ ἀνάρρωσις·

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



τὸ θαῦμα ὄντως ἐπετελέσθη. Ἡ Μεγαλόχαρη ἐνίκησε τὸν θάνατον. Ὁ κόσμος ἐδικαιώθη πλήρως. Ἡ θεραπεία τοῦ Βασιλέως, τὴν ὁποίαν ὁ λαὸς ἀπέδωκεν εἰς τὴν ἐπέμβασιν τῆς θαυματουργοῦ Παναγίας τῆς Τήνου (τῆς ὁποίας ἡ εἰκὼν ἐκομίσθη εἰς Ἀθήνας) μεγάλως ἐνίσχυσε τὸ γόητρον τοῦ δαφνοστεφοῦς Βασιλέως, ὁ ὁποῖος, (καθὼς ἀπέδειξεν ἡ ἐκ νέου σωτηρία του κατὰ τὴν πυρκαϊὰν τοῦ Τατοΐου) ἦτο ὁ εὐνοούμενος τῆς Θείας Προνοίας. Ταῦτα λέγει ὁ διάσημος Ἄγγλος δημοσιογράφος ἱστορικὸς Μίλλερ (Ἱστορία τοῦ Ἑλλην. Λαοῦ μετάφρασις Κ. Καιροφύλλα σελ. 178.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ Ζ'. Οὐκ ἐλάτρευσαν.**

Παρθενεύουσαν νηδὺν τὸ πῦρ Θεότητος, τὴν σὴν οὐκ ἔφλεξεν, ὡς δροσοβόλος ποτέ, τοὺς παῖδας ἡ κάμινος Θεοῦ προλέγουσα, ἐκ σοῦ τὴν γέννησιν, ᾧ καὶ ἡμεῖς κραυγάζομεν ὁ Θεὸς εὐλογητὸς εἶ.

Ρέει πάντοτε, πιστοῖς διψῶσι νάματα, δούλοις σοι ἄχραντε, σοῦ ἐκ πηγῆς, ἣν ποτέ, ὅτι ἐξελεύσεται, Ἰωὴλ ἔδειξεν, ἐκ Θεοῦ ἡμῖν, ᾧ καὶ ἡμεῖς κραυγάζομεν, ὁ Θεὸς εὐλογητὸς εἶ.

Νέφος ἄχραντε, βασάνου κατεκάλυψε, ψυχήν μου Δέσποινα, καὶ σκοτασμὸν ἐμποιεῖ, φωτὸς δ' ὡς γεννήτρια, τοῦτο ἀπέλασον τῇ δυνάμει σου, πόρρω ἁγνὴ Θεόνυμφε καὶ φωτίζουσά με ῥῦσαι.

**Ὠδὴ Η'. Παῖδας εὐαγεῖς.**

Τόκος σὸς Παρθένε ἐν καμίνῳ, ἀφλέκτως τοὺς παῖδας διεσώσατο, τοῦ πυρὸς ἐξήγετο, καὶ σὲ προεικόνισε, Θεοῦ Μητέρα ἔσεσθαι, ᾧ πάντες ψάλλομεν, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Υμνον σοι ἁγνή, οἶκε Κυρίου, κομίζ' ὡς Ζαχαρίας προεφθέγξατο καὶ ὁ Μαλαχίας τε, ναὸν αὐτοῦ ἀπέδειξεν, ἐν σοὶ γὰρ κατεσκήνωσεν, ᾧ καὶ νῦν ψάλλομεν, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Προσφεύγων τῇ μόνῃ μου ἐλπίδι, τῇ μόνῃ καταφυγῇ καὶ προστασίᾳ μου, κράζω σοι ἐκ θλίψεων, μὴ ἐγκαταλίπῃς με, ἀλλά με ῥῦσαι Πάναγνε, τοῦ βίου τε δεινῶν περιστάσεων, καὶ τῆς μελλούσσης γεέννης, ὅπως σὲ γεραίρω τὴν μόνην Θεοτόκον.

**Ὠδὴ Θ΄ Ἅπας γηγενής.**

Χαῖρε, ὦ Ἁγνή, χαρᾶς εὐαγγέλια παρὰ ἀγγέλου ποτέ, μόνη δεξαμένη σύ, ὡς ἡ τεκοῦσα τὸν ποιητὴν τοῦ παντός, χαρᾶς αἰτία Δέσποινα, χαρμονὴ πάντοτε, καὶ ἀγγέλων, ἀνθρώπων καὶ κτίσεως, εἰς αἰῶνας, σὺ χαῖρε Θεόνυμφε.

Ψάμμος ἀληθῶς, τῷ πλήθει ἐγκώμια, τὰ σὰ ὑπάρχει Ἁγνή, σὲ γὰρ καὶ οὐράνιαι, τάξεις ὑμνοῦσιν ὡς Θεομήτορα, τοῦ Νόμου τε τὰ σύμβολα, καὶ προφητῶν οἱ χοροί, Ἀποστόλων, Μαρτύρων, Ἁγίων τε καὶ ἀνθρώπων τὸ γένος, Πανύμνητε.

Σοὶ Θεοῦ Μητρί, προσπίπτω δεόμενος, τὸν ὕμνον δέχου Ἁγνή, ὅνπερ σοὶ προσέφερον, σὺν τούτῳ ὅμως τὴν προθυμίαν μου καὶ πόθον πίστιν Δέσποινα, καὶ μὴ παρίδῃς με, ἀλλ' Υἱῷ σου πρέσβευε ῥυσθῆναι με ἐκ κινδύνων κακῶν καὶ κολάσεων.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Η Τῆνος νῦν ἀπέστειλε, εἰκόνα σου τὴν πάνσεπτον εἰς τὰς Ἀθήνας Παρθένε, ἄλλον παράκλητον ὄντως, ἰάσατο γὰρ Ἄνακτα, βαρέως ἀσθενήσαντα, ὁ δὲ λαὸς ἐκραύγαζεν εὐγνώμων πρὸς τὸν Σωτῆρα, Δόξα Χριστὲ τῷ σῷ κράτει.

(Ἐκ τρίτου).

**Εἰς τοὺς Αἴνους.**

**Ἱστῶμεν στίχους 4 καὶ ψάλλομεν τὰ ἑπόμενα δευτερεύοντες τὸ πρῶτον.**

**Στιχηρὰ προσόμοια.**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**



Ὅτε ἐκ τῆς Τήνου ἡ σεπτή, καὶ τιμιωτάτη εἰκών σου, εἰς τὰς Ἀθήνας ποτέ, ἤχθη ἡ πανθαύμαστος μετ' εὐλαβείας πολλῆς, ἱερεῖς τε καὶ ἄρχοντες, καὶ ἅπαν τὸ πλῆθος, ταύτην ὑπεδέξαντο μετὰ δακρύων θερμῶν, τότε δὲ καὶ Ἄναξ ἰάθη ὁ κλεινὸς ἡμῶν Κωνσταντῖνος, μόνῃ τῇ πρεσβείᾳ σου, Πανάχραντε.

Χαῖρε Μητροπάρθενε Ἁγνή, χαῖρε Θεοτόκε Μαρία, χαῖρε ἐλπὶς ἀσθενῶν, χαῖρε τὸ παλάτιον τοῦ Βασιλέως Χριστοῦ, χαῖρε Θρόνε πυρίμορφε, χαῖρε Ὀρθοδόξων καύχημα, πανάριστον, χαῖρε πλεόντων λιμήν, χαῖρε τῶν Ἑλλήνων ἡ δόξα, χαῖρε τῶν ἀγγέλων Κυρία, χαῖρε πάντων ἡ Βασίλισσα.

Τί σοι προσενέγκωμεν πιστοί, ὦ Παρθενομῆτερ Μαρία, ὅτι μεγάλα ἡμῖν, ἔπραξας Πανύμνητε, εὐεργετήματα, κηρὸν ἢ θυμίαμα, ἔλαιον ἢ ἄνθη, ἄργυρον, ἀδάμαντας, χρυσὸν τοῦ κόσμου παντός, πρὸ τῶν θαυμασίων Κόρη, πᾶσαν τὴν καρδίαν νῦν δέξαι, ἐξ εὐγνωμοσύνης ἡμῶν Ἄχραντε.

**Δόξα καὶ νῦν. Ἦχος πλ β΄.**

Σιγησάτωσαν σήμερον, οἱ τῶν Ὀρθοδόξων καταφρονοῦντες, προσκυνούντων, ἀλλὰ μὴ τὰς σεπτὰς καὶ ἁγίας εἰκόνας λατρευόντων. Ὡς γὰρ τοῦ Κορυφαίου ἡ σκιὰ καὶ τοῦ Παύλου τὰ σουδάρια ἐπισκιάζοντα, πᾶσαν ἀσθένειαν ἐθεράπευον, οὕτω καὶ τὸ σεπτὸν ἐκτύπωμα τῆς Θεοτόκου νῦν, μετενεχθὲν παρὰ τὴν κλίνην ἀσθενοῦς Βασιλέως, βραβεύει θαυμασίως, τὴν πολυτιμοτάτην ὑγίειαν.

Μεθ' ἡμῶν οὖν εἰπάτωσαν, ὁ τῶν θαυμασίων Θεός, δόξα σοι.

**Δοξολογία Μεγάλη. Τὸ ἀπολυτίκιον κλπ. καὶ ἀπόλυσις.**

**Εἰς τὴν λειτουργίαν τὰ γνωστὰ εἰς τὰς Θεομητορικὰς ἑορτάς.**

---

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ